THE SERVICES OF
PREPARATION
and **VESTING** *for*
a HIERARCHICAL LITURGY

THE SERVICE OF PREPARATION AND VESTING FOR A HIERARCHICAL LITURGY

© Copyright 2016 by
Greek Orthodox Metropolis of Chicago
40 E. Burton Pl., Chicago, IL, 60610

First Printing 2016

Translations of liturgical texts are by
Arch. Ephrem Lash with some emendations.

Translations of the *Apolytikia of the Parishes* are by
Fr. Seraphim Dedes and are used by permission.

Illustration of the Hierarch's Crown by Predrag Ilievski.

All rights reserved.
Printed and bound in China.

Distribution in the United States:

Greek Orthodox Metropolis of Chicago,
40 E. Burton Pl., Chicago, IL, 60610

Tel: 312.337.4130
Email: info@metropolisofchicago.org
Web: http://chicago.goarch.org

DEDICATION

For my brother hierarch
of the decade passed,
my spiritual elder and father
from many years before;
for my teacher, the paradigm
of pastors and liturgists,

IAKOVOS *of* **Chicago**

A WORD OF THANKS

The publication of this book would not have been possible without the dedicated and loving support of the following brothers in Christ:

Reverend Father Apostolos Georgiafentis
Reverend Father David G. Bissias
Reverend Father Michael Monos
Reverend Father Demetrios Kounavis
Reverend Deacon Chris Avramopoulos
Mr. William A. Kallas

Our Father among the saints,
JOHN CHRYSOSTOM

Η ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ
ΚΑΙΡΟΥ

ΑΡΧΙΕΡΑΤΙΚΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Ψαλλομένων τῶν ἐξαποστειλαρίων οἱ Διάκονοι ἐξέρχονται διὰ τῆς ὡραίας πύλης κρατοῦντες τὰ δικηροτρίκηρα καὶ ἵστανται, ὁ μὲν πρῶτος ἔχων τὸ τρίκηρον ἐκ δεξιῶν, ὁ δὲ δεύτερος ἔχων τὸ δίκηρον ἐξ ἀριστερῶν τοῦ ἀρχιερατικοῦ θρόνου, καὶ οἱ λοιποὶ κατὰ τὴν τάξιν αὐτῶν ἔνθεν καὶ ἔνθεν τοῦ Ἀρχιερέως μετὰ τοὺς ἔχοντας τὰ δικηροτρίκηρα.

Πληρωθέντος τοῦ στίχου Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ *τῶν πασαπνοαρίων, ὁ Ἀρχιερεύς κατέρχεται τοῦ θρόνου εἰς τὴν λέξιν* καὶ Ἀρχιερέα *τῆς ψαλμῳδίας τοῦ ᾄσματος* Τὸν Δεσπότην καὶ Ἀρχιερέα ἡμῶν, Κύριε, φύλαττε· εἰς πολλὰ ἔτη Δέσποτα καί, *προπορευομένων τῶν φερόντων τὰ δικηροτρίκηρα Διακόνων, τῶν δὲ ἑτέρων ἀκολουθούντων, ἔρχεται πρὸ τῆς ὡραίας πύλης καὶ λαμβάνει καιρόν.*

Ὁ Ἀρχιερεύς· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με. *(χ3)*

Ὁ α' Διάκονος· Εὐλόγησον, Δέσποτα.

Ὁ Ἀρχιερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α' Διάκονος· Ἀμήν.

Ἀπο τῆς Κυριακῆς τοῦ Θωμᾶ μέχρι καὶ τῆς Τρίτης πρὸ τῆς Ἀναλήψεως, λέγεται τρὶς Χριστὸς ἀνέστη ἐκ νεκρῶν θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος, *καὶ τοῦτο ἀντικαθιστᾷ* Βασιλεῦ οὐράνιε... *καὶ* Ἅγιος ὁ Θεὸς...

THE SERVICE OF
PREPARATION

HIERARCHICAL LITURGY

During the singing of the exaposteilarion, the Deacons come out from the beautiful gate holding the double-triple candles; the first in rank, with the triple-candle stands to the right of the episcopal throne, while the second in rank stands to the left of the throne. The others take their place according to their rank on each side of the Hierarch, after those holding the double-triple canldes.

At the completion of the verse, Praise Him all you His angels *of the Lauds, the Hierarch descends the throne and at the words of* and Hierarch *of the asmatic hymn* Preserve, O Lord, our Master and Hierarch. Many years to you, Master! *preceded by the Deacons carrying the double-triple candles, with the others following, and comes before the beautiful gate and takes kairos.*

Hierarch: God, be gracious unto me a sinner, and have mercy on me. *(χ3)*

1st Deacon: Master, Bless.

Hierarch:

Blessed is our God, always, now and for ever, and to the ages of ages.

1st Deacon: Amen.

From the Sunday of Thomas until the Tuesday before the Ascension, Christ is risen from the dead, by death trampling down upon death, and to those in the tombs, He has granted life, *is said three times, which is substituted for both* Heavenly King... *and* Holy God...

Ὁ Ἀρχιερεύς· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ α' Διάκονος· Ἀμήν. Εἰς πολλὰ ἔτη Δέσποτα.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον

Hierarch: Glory to you, our God. Glory to you.

Heavenly King, Comforter, Spirit of truth, present everywhere, filling all things, Treasury of blessings and Giver of life, come and abide in us, cleanse us from every stain, and save our souls, O Good One.

1st Deacon: Amen. Many years to you, Master.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

Glory to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages. Amen.

All-holy Trinity, have mercy on us. Lord, forgive our sins. Master, pardon our transgressions. Holy One, visit and heal our infirmities for the glory of Your name.

Lord, have mercy. Lord, have mercy. Lord, have mercy. Glory to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages. Amen.

Our Father, who art in heaven, hallowed be Thy name. Thy kingdom come. Thy will be done, on earth as it is in heaven. Give us this day our daily bread; and forgive us

δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἀρχιερεύς· Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α' Διάκονος· Ἀμήν. *(χῦμα)*

Ὁ Ἀρχιερεύς·

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

Ὁ α' Διάκονος·

Δόξα Πατρί, καὶ Υἱῷ,
καὶ Ἁγίῳ Πνεύματι.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν· μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Ὁ Ἀρχιερεύς·

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην, ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σέ, μὴ ἀστο-

our trespasses, as we forgive those who trespass against us. And lead us not into temptation, but deliver us from the evil one.

Priest: For Yours is the kingdom and the power and the glory, of the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

1st Deacon: Amen. *(spoken)*

Hierarch:

Have mercy on us, Lord, have mercy on us; for we sinners, lacking all defence, offer you, as our Master, this supplication: have mercy on us.

1st Deacon:

Glory to the Father, and to the Son,
and to the Holy Spirit.

Lord, have mercy on us, for in you we have put our trust. Do not be very angry with us, nor remember our iniquities. But look on us now, as you are compassionate, and rescue us from our enemies. For you are our God, and we are your people; we are all the work of your hands, and we have called on your name.

Hierarch:

Both now and forever,
and to the ages of ages. Amen.

Theotokion.

Open the gate of compassion to us, blessed Theotokos; hoping in you, may we not fail. Through

χήσωμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὁ β' Διάκονος· Κύριε, ἐλέησον. **(ιβ')**

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἔπειτα ἀσπάζονται
τὴν εἰκόνα τοῦ Χριστοῦ λέγοντες·

Ὁ α' Διάκονος·

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ ἵνα ρύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ. Ὅθεν εὐχαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

Καὶ τὴν τῆς Θεομήτορος λέγοντες:

Ὁ β' Διάκονος·

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες τὸ Χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

you may we be delivered from adversities, for you are the salvation of the Christian race.

2nd Deacon: Lord, have mercy. ***(x12)***

Glory to the Father and the Son and the Holy Spirit. Both now and ever and to the ages of ages. Amen.

Then they venerate
the icon of Christ saying:

1st Deacon:

We venerate your most pure icon, loving Lord, as we ask pardon for our offenses, Christ God. For by your own choice you were well pleased to ascend the Cross in the flesh, to deliver from the slavery of the enemy those whom you had fashioned. Therefore with thanksgiving we cry to you: you have filled all things with joy, our Savior, by coming to save the world.

And that of the Mother of God saying:

2nd Deacon:

As you are the source of compassion, grant us pity, Theotokos. Look on a people who have sinned, and show your power as always; for hoping in you we cry, 'Rejoice', as once Gabriel did, the chief Captain of the Bodiless Powers.

Εἰς τὴν τοῦ Προδρόμου λέγουσι:

Ὁ α' Διάκονος·

Μνήμη δικαίου μετ' ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον· Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ἀσπαζόμενοι δὲ τὴν εἰκόνα τοῦ ἁγίου τοῦ ναοῦ ***λέγουσι τὸ ἀπολυτίκιον τοῦ ναοῦ.***

Καί, μετὰ τὸ ἀσπασθῆναι τὰς εἰκόνας, κλίνουσι μικρὸν τὰς κεφαλὰς αὐτῶν ἔμπροσθεν τῆς ὡραίας πύλης, τοῦ Διακόνου λέγοντος·

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε, ἐλέησον.

Ὁ Ἀρχιερεὺς τὴν εὐχήν·

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου· ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ σου βήματι, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α' Διάκονος· Ἀμήν.

And that of the Forerunner saying:

1st Deacon:

The just is remembered with praises, but for you the Lord's testimony suffices, O Forerunner; for you were declared more praiseworthy than the Prophets, because you were found worthy to baptize in running streams the One they had proclaimed. Therefore, having struggled bravely for the truth with joy, you preached to those in Hades a God who had appeared in flesh, who takes away the sin of the world, and grants us his great mercy.

Then they venerate the icon of the saint of the Temple ***saying the appropriate apolytikion.***

After venerating the icons, they come before the Beautiful Gate, and bowing their heads, the Deacon says:

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

The Hierarch says the following prayer:

Stretch forth your hand, Lord, from your dwelling on high, and strengthen me for your service which now awaits me, so that, standing uncondemned before your dread altar, I may offer the sacrifice without shedding of blood. For yours is the power and the glory to the ages of ages.

1st Deacon: Amen.

Καὶ ποιεῖ μικρὰν ἀπόλυσιν.

Ὁ Ἀρχιερεὺς·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ α' Διάκονος· Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον. Δέσποτα, ἅγιε, εὐλόγησον.

Ὁ Ἀρχιερεύς·

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου *(τοῦ Ναοῦ)*, τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου *(Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, οὐρανοφάντορος τοῦ Μεγάλου)*, τοῦ ἁγίου *(τῆς ἡμέρας)*, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ α' Διάκονος· Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Then the small dismissal is done.

Hierarch:

Glory to you, O God, our hope, glory to you.

1st Deacon: Glory to the Father, and to the Son, and to the Holy Spirit. Both now and forever, and to the ages of ages. Amen. Lord, have mercy, Lord, have mercy, Lord, have mercy. Holy Master, give the blessing.

Hierarch:

May, *(He who rose from the dead)*, Christ our true God through the intercessions of His most pure and holy Mother; the holy, glorious and praiseworthy apostles; Saint *(patron of the church)*, of our Father among the Saints, John Chrysostom, Archbishop of Constantinople *(Basil the Great, Archbishop of Caesarea in Cappadocia the heaven-revealer)*, Saint *(of the day)* whose memory we commemorate today and all the saints, have mercy upon us and save us, as a good, loving, and merciful God.

Through the prayers of our holy fathers, Lord Jesus Christ, our God, have mercy on us and save us.

1st Deacon: Through the prayers of our holy Master, Lord Jesus Christ, our God, have mercy on us and save us. Amen.

Καὶ εἰσέρχονται εἰς τὸ θυσιαστήριον, ὁ μὲν Ἀρχιερεὺς διὰ τῆς ὡραίας πύλης, ὁ δὲ διάκονος τῆς νοτίου, λέγοντες·

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων. Καθάρισον Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Εἰσελεύσομαι εἰς τὸν ἅγιον οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου.

Then they enter the sanctuary, the Hierarch through the Beautiful Gate, and the Deacon through the south door, saying:

How shall I, the unworthy, enter among the splendors of your Saints? For if I dare to enter with them into the bridal chamber, my dress convicts me, for it is not a wedding garment, and I shall be bound and cast out by the Angels. Cleanse the stain of my soul, Lord, and save me, as you love mankind.

I will enter your holy house; I will bow down before your holy temple in fear of you.

Η ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΕΝΔΥΣΕΩΣ

Εἰς τὸ Στιχάριον·

Ὁ α' Διάκονος· Εὐλόγησον, Δέσποτα τὸ ἱερὸν στιχάριον. Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε, ἐλέησον.

Ὁ α' Διάκονος· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸ Ἐπιτραχήλιον·

Ὁ β' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α' Διάκονος· Κύριε ἐλέησον.

Ὁ β' Διάκονος· Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἀρχιερεῖς αὐτοῦ· ὡς μῦρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὥαν τοῦ ἐνδύματος αὐτοῦ.

Ὁ α' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

THE SERVICE OF VESTING

For the Sticharion.

1st Deacon: Master, bless the sacred Sticharion. Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: My soul will rejoice in the Lord, for he has clothed me with a garment of salvation and wrapped me in a robe of gladness; he has placed a crown on my head as on a bridegroom, and adorned me with beauty as a bride.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the Epitrachelion.

2nd Deacon: Let us pray to the Lord.

1st Deacon: Lord, have mercy.

2nd Deacon: Blessed is God, who pours his grace upon his archpriests, as myrrh upon the head, which ran down upon the beard, Aaron's beard, and ran down to the collar of his robe.

1st Deacon: Always, now and forever and to the ages of ages. Amen.

Εἰς τὴν Ζώνην·

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Εὐλογητὸς ὁ Θεὸς, ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸ Δεξιὸν Ἐπιμάνικον·

Ὁ β' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α' Διάκονος· Κύριε ἐλέησον.

Ὁ β' Διάκονος· Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ὁ α' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸ Ἀριστερὸν Ἐπιμάνικον·

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

For the Belt.

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: Blessed is God, who girds me with power and has made my way blameless.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the Right Cuff.

2nd Deacon: Let us pray to the Lord.

1st Deacon: Lord, have mercy.

2nd Deacon: Your right hand, Lord, has been glorified in strength; your right hand, Lord, has shattered enemies, and by the greatness of your glory you have crushed the adversaries.

1st Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the Left Cuff.

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: Your hands have made me and fashioned me; give me understanding and I will learn your commandments.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

Εἰς τὸν Σάκκον·

Ὁ β' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α' Διάκονος· Κύριε ἐλέησον.

Ὁ β' Διάκονος· Οἱ ἀρχιερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Ὁ α' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τό Ἐπιγονάτιον·

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β'' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Περίζωσαι τήν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πρᾳότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸ Ὠμοφόριον·

Ὁ β' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α' Διάκονος· Κύριε ἐλέησον.

Ὁ β' Διάκονος· Ἐπὶ τῶν ὤμων, Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθείς, τῷ Θεῷ καί Πατρί προσήγαγες.

For the Sakkos.

2nd Deacon: Let us pray to the Lord.

1st Deacon: Lord, have mercy.

2nd Deacon: Your archpriests, O Lord, will be clothed in righteousness and Your venerable ones will rejoice in joy.

1st Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the Epigontaion.

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: Gird your sword on your thigh, O Powerful One, in your beauty and splendour; and bend the bow, prosper and reign, for the sake of truth and meekness and justice, and your right hand will guide you wondrously.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the Omophorion.

2nd Deacon: Let us pray to the Lord.

1st Deacon: Lord, have mercy.

2nd Deacon: When you took human nature, which had gone astray, upon your shoulders, O Christ, you bore it up to heaven, unto God the Father.

Ὁ α' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετὰ τὴν περιβολὴν τοῦ Ἀρχιερέως, χερνιβόξεστο νίπτει τὰ χέρια του στὸ χερνιβόξεστο πού τοῦ προτείνει ὁ Διάκονος·

Ὁ α' Διάκονος· Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου, ὧν ἐν χερσὶν αἱ ἀνομίαι· ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ ποῦς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Ἐὰν μέλλῃ λειτουργῆσαι Ἀρχιερεύς, ὁ Ἱερεὺς οὐ τελειοῖ τὴν Πρόθεσιν, ἀλλὰ μετὰ τὴν ἐξαγωγὴν τῶν μερίδων τῆς Θεοτόκου, τῶν ἁγίων καὶ μιᾶς τοῦ Ἀρχιερέως, καλύπτει τὸ ἅγιον δισκάριον καὶ τὸ ἅγιον ποτήριον μετὰ τοῦ ἀέρος, μηδὲν λέγων. Τὰ δὲ λοιπὰ λέγει καὶ ἀποτελειοῖ τὴν ὑπὸ τοῦ Ἱερέως γενομένην πρόθεσιν ὁ ιερουργῶν Ἀρχιερεὺς, ψαλλομένης τῆς Δοξολογίας ἢ τοῦ «Χερουβικοῦ», πρὸ τῆς Μεγάλης Εἰσόδου.

Ὁ Ἀρχιερεύς·

Μνήσθητι Δέσποτα φιλάνθρωπε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τοῦ ἀρχιεπισκόπου ἡμῶν ***(δεῖνος), (τοῦ ἐπισκόπου ἡμῶν δεῖνος) (καὶ τοῦ χειροτονήσαντος αὐτὸν ἀρχιερέως)***, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ

1st Deacon: Always, now and forever and to the ages of ages. Amen.

After the vesting of the Hierarch, he washes his hands in a basin while the Deacon pours water over his hands:

1st Deacon: I will wash my hands in innocence, and compass your altar, O Lord: to hear the voice of praise and to declare all your wonderful works. O Lord, I loved the beauty of your house, and the place where your glory dwells. Do not destroy not my soul with the ungodly, nor my life with bloodthirsty people: in whose hands are iniquities, and their right hand is filled with bribes. But I have walked in my innocence: redeem me and have mercy upon me. My foot stands in an even place: in the congregations will I bless you, O Lord.

Since a Hierarch is to celebrate the Divine Liturgy, the Priest does the Proskomide, however after he removes the portions for the Theotokos, the Saints and the Hierarch, he covers the Holy Diskarion and the Holy Chalice with the aër, saying nothing. The remainder of the Proskomide is said by the celebrating Hierarch during the chanting of the Doxology or the "Cherubic Hymn," prior to the Great Entrance.

Hierarch:

Remember, Master who loves humankind, all Orthodox bishops, our Archbishop and father ***N., (our Bishop N.), (the hierarch who ordained him)***, the honored order of presbyters, the diaconate in Christ and every priestly and monastic order; our brothers and

τάγματος, τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν· Πρεσβυτέρων *(τῶν δε)*, Διακόνων *(τῶν δε)*, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν διακονίαν διὰ τῆς σῆς εὐσπλαγχνίας Πανάγαθε Δέσποτα.

Καὶ τῶν δούλων σου...

Καὶ μνημονεύει ὧν ἔχει ζώντων κατ᾽ ὄνομα· καὶ οὕτως αἴρων τίθησι τὰς μερίδας ὑποκάτω. Τελευταίως δὲ ἐπιλέγει·

...Καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἐκούσιόν τε καὶ ἀκούσιον.

Λαβὼν δὲ ἑτέραν σφραγῖδα ἐκ τῆς αὐτῆς ἢ ἐξ ἄλλης πέμπτης προσφορᾶς, λέγει·

Ἔτι προσφέρομέν σοι τὴν θυσίαν ταύτην ὑπὲρ τῶν ψυχῶν τῶν ἐν μακαρίᾳ τῇ λήξει γενομένων εὐσεβεστάτων καὶ ἀοιδίμων ὀρθοδόξων βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, διακόνων, ἀναγνωστῶν, μοναχῶν καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος.

Τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων, ἀνακαινιστῶν, δωρητῶν, εὐεργετῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν ἱερατευσάντων καὶ διακονησάντων ἐν αὐτῷ. Πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς τ᾽ αἰωνίου καὶ ἐν τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν ὧν Κύριε, τὰ ὀνόματα σὺ γινώσκεις, τῶν ἐνθάδε καὶ ἀπανταχοῦ εὐσεβῶς κειμένων ὀρθοδόξων, ὑπὲρ ὧν ἱκετεύει σε, τῷ τιμίῳ σου αἵματι, ἡ ἁγία σου Ἐκκλησία.

concelebrants, the priests *(names)* and deacons *(names)*, and all our brethren, whom, through your compassion, you have called to your service, most loving and All-good Master.

And for your servants...

And he commemorates the names of the living, removing a particle for each. When he is finished he says...

...And forgive them their every transgression, whether voluntary or involuntary...

Taking another seal from amongst the other (five) loaves of prosphora, he says:

Furthermore remember, O Lord, the souls of those who have passed on in blessedness, for whom this sacrifice is offered: sovereigns, patriarchs, archbishops, bishops, priests, deacons, readers, monks, nuns and every clerical and monastic order.

Also remember the blessed and ever-memorable founders, caretakers, donors, coworkers, and benefactors of this holy house and all the clergy and those who have servered herein; all Orthodox fathers and brethren who have fallen asleep in the hope of the resurrection to eternal life and communion with you, whose names, O Lord, you know, who have been laid here in pious rest, and for all pious Orthodox Christians everywhere, for whom your holy Church now prays by your precious Blood.

Μνήσθητι Κύριε τάς ψυχάς τῶν κεκοιμημένων δούλων σου...

Καὶ μνημονεύει ὧν ἔχει κεκοιμημένων κατ' ὄνομα καὶ τοῦ χειροτονήσαντος αὐτὸν Ἀρχιερέως, εἰ οὐκ ἐν τοῖς ζῶσι. Καὶ αἴρων τίθησι μερίδας τῶν ὑπὲρ ὧν μνημονεύει, ἐπιλέγων, ἐν ἑκάστῃ·

Μετὰ τὴν μνημόνευσιν τῶν ὀνομάτων, ὁ Ἀρχιερεύς, λέγει·

Καὶ ἀνάπαυσον αὐτοὺς ἔνθα οἱ δίκαιοι ἀναπαύονται· καὶ κατάταξον αὐτοὺς ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν σου, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Ὕστερον δὲ ἐκβάλλει καὶ μερίδα ἑαυτῷ λέγων·

Μνήσθητι, Κύριε, καμοῦ τοῦ δούλου σου *(τοῦ δεῖνος)* Ἀρχιερέως, τοῦ καὶ προσκομίζοντος τὰ τίμια καὶ ἅγια Δῶρα ταῦτα, καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Καὶ λαβὼν τὴν μοῦσαν συστέλλει τὰς μερίδας τὰς ἐν τῷ ἁγίῳ Δισκαρίῳ, ὥστε εἶναι ἐν ἀσφαλείᾳ καὶ μὴ ἐκπεσεῖν τινάς. Εἶτα ὁ διάκονος λαβὼν τὸ θυμιατήριον λέγει·

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Εὐλόγησον, Δέσποτα, το θυμίαμα.

Καὶ ὁ Ἀρχιερεύς εὐλογεῖ αὐτὸ λέγων·

Ὁ Ἀρχιερεύς· Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς· ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου Θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Remember the souls of your servants to who fallen asleep...

And he commemorates the names of those who have fallen asleep, as well as the hierarch who ordained him if he is not among the living, removing a particle for each.

After he commemorates the names, the Hierarch says:

And grant them rest where the righteous repose; and assign them to the tentings of the your chosen ones, where the light of your face keeps watch.

After these things, he removes a portion for himself saying:

Remember me, O Lord, your servant *(name)* the Hierarch, who now offers these precious and holy Gifts, and forgive me my ever transgression, both voluntary or involuntary.

Then with the sponge he collects all the particles on the Paten, so that everything is safe and nothing will fall. Then the deacon takes the censor and says:

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: Bless Master the incense.

And the Hierarch blesses it saying:

Hierarch: We offer incense to you, Christ our God, as a fragrance of spiritual sweetness. Accept it on your altar above the heavens and send down upon us in return the grace of your all-holy Spirit.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

1st Deacon: Let us pray to the Lord.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

2nd Deacon: Lord, have mercy.

Ὁ α' Διάκονος· Στερέωσον, Δέσποτα.

1st Deacon: Make firm, Master.

Ὁ Ἀρχιερεύς θυμιῶν τὸ ἀστερίσκον καὶ θέτει αὐτὸν ἐπάνω τοῦ Ἀμνοῦ λέγων·

The Hierarch censes the Star, and places it over the Lamb, saying:

Ὁ Ἀρχιερεύς· Ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον κείμενον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ.

Hierarch: And the star came and stood over where the Child lay with Mary his mother.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

1st Deacon: Let us pray to the Lord.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

2nd Deacon: Lord, have mercy.

Ὁ α' Διάκονος· Εὐπρέπισον, Δέσποτα.

1st Deacon: Beautify, Master.

Ὁ Ἀρχιερεύς θυμιῶν τὸ πρῶτον κάλυμμα, καλύπτει δι' αὐτοῦ τὸν Ἀμνὸν σὺν τῷ Δισκαρίῳ, λέγων·

The Hierarch censes the first veil, and covers the lamb, together with the Diskarion, saying:

Ὁ Ἀρχιερεύς· Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἑστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Hierarch: The Lord is King, he has clothed himself with glory; the Lord has clothed and girded himself with power; for he has established the world, which will not be shaken.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

1st Deacon: Let us pray to the Lord.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

2nd Deacon: Lord, have mercy.

Ὁ α' Διάκονος· Κάλυψον, Δέσποτα.

Καὶ ὁ Ἀρχιερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, καλύπτει δι' αὐτοῦ τὸ ἅγιον Ποτήριον, λέγων:

Ὁ Ἀρχιερεύς· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Σκέπασον, Δέσποτα.

Ὁ Ἀρχιερεὺς θυμιῶν τὸ τρίτον κάλυμμα καὶ σκεπάζων δι' αὐτοῦ τό τε ἅγιον Δισκάριον καὶ τὸ ἅγιον Ποτήριον, λέγει:

Ὁ Ἀρχιερεύς· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀπόδιωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ α' Διάκονος· Εὐλόγησον, Δέσποτα.

Καὶ ὁ Ἀρχιερεὺς λαβὼν τὸ θυμιατήριον, θυμιᾷ τὴν Πρόθεσιν λέγων ἐκ τρίτου τό·

Ὁ Ἀρχιερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας· δόξα σοι.

1st Deacon: Cover, Master.

The Hierarch censes the second veil, and then covers the holy Chalice with it, saying:

Hierarch: Your virtue, O Christ, has covered the heavens, and the earth is full of your praise.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: Shelter, Master.

The Hierarch censes the third veil (the Aēr), and with it covers both the Chalice and the Diskarion, saying:

Hierarch: Shelter us in the shelter of your wings; drive away from us every enemy and adversary. Bring peace, O Lord, to our lives, have mercy on us and on your world, and save our souls, for you are good and the lover of mankind.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

1st Deacon: Bless, Master.

Then the Hierarch takes the censer and censes the Offering three times, saying:

Hierarch: Blessed is our God, who has been thus well-pleased. Glory to you.

Ὁ β' Διάκονος· Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2nd Deacon: Always, now and for ever, and to the ages of ages. Amen.

Ὁ α' Διάκονος· Εὐλόγησον, Δέσποτα.

1st Deacon: Bless, Master.

Ὁ Ἀρχιερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας· δόξα σοι.

Hierarch: Blessed is our God, who has been thus well-pleased. Glory to you.

Ὁ β' Διάκονος· Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2nd Deacon: Always, now and for ever, and to the ages of ages. Amen.

Ὁ α' Διάκονος· Εὐλόγησον, Δέσποτα.

1st Deacon: Bless, Master.

Ὁ Ἀρχιερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας· δόξα σοι.

Hierarch: Blessed is our God, who has been thus well-pleased. Glory to you.

Ὁ β' Διάκονος· Πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

2nd Deacon: Always, now and for ever, and to the ages of ages. Amen.

Λαβὼν δὲ ὁ Διάκονος τὸ θυμιατήριον λέγει·

Then the Deacon takes the censer and says:

Ὁ α' Διάκονος· Ἐπὶ τῇ ἁγίᾳ καὶ ἱερᾷ Προθέσει τῶν τιμίων Δώρων. Τοῦ Κυρίου δεηθῶμεν.

1st Deacon: For the holy and sacred Offering of the precious gifts, let us pray to the Lord.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

2nd Deacon: Lord, have mercy.

Εἶτα ὁ Διάκονος (ἢ ὁ Ἱερεὺς) λαβὼν τὸ θυμιατήριον μετὰ θυμιάματος, λέγει τῷ Ἀρχιερεῖ· Εὐλόγησον, Δέσποτα, το θυμίαμα. Καὶ ὁ Ἀρχιερεὺς εὐλογεῖ αὐτὸ λέγων· Θυμίαμά σοι προσφέρομεν...καὶ εἶτα θυμιᾷ τὴν ἁγίαν Πρόθεσιν, τὴν ἁγίαν Τράπεζαν κύκλῳ (σταυροειδῶς) καὶ τὸ Ἱερατεῖον ὅλον, λέγων καθ' ἑαυτόν·

Then the Deacon (or the Priest) takes the censor with incense, and says to the Hierarch: Bless, Master, the incense. *And the Hiearch says:* We offer incense...*and then he censes the holy Prothesis, and goes around the holy Table censing each side crosswise, and the entire Sanctuary, while saying to himself:*

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστὲ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνο-

Having beheld the Resurrection of Christ, let us worship the Holy Lord Jesus, the only sinless one. We venerate Your cross, O Christ, and we praise and glorify Your holy resurrection. You are our God. We know no other than You, and we call upon Your name.

μάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς, ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ ληστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης βασιλικῆς, ἀναδέδεικται λαμπρότερος, Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὸ τοῦ ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις, πανάμωμε Δέσποινα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου

Come, all you faithful, let us venerate the holy resurrection of Christ. For behold, through the cross joy has come to all the world. Ever praising the Lord, let us praise His resurrection. For enduring the cross for us, He has destroyed death by death.

With your body, O Christ, you were in the tomb, with your soul in Hell as God, in Paradise with the Thief, on the throne with Father and the Spirit, filling all things, yet yourself uncircumscribed.

Glory to the Father, and to the Son, and to the Holy Spirit.

How life-giving, how much more beautiful than paradise, and truly more resplendent than any royal palace proved your grave, the source of our resurrection, O Christ.

Both now and for ever, and to the ages of ages. Amen.

Rejoice, divine and hallowed dwelling of the Most High, for through you, Theotokos, joy has been given to those who cry, 'Blessed are you among women, spotless Lady!'

Have mercy on me, O God, according to Your great mercy; and according to the magnitude of Your compassion blot out my transgression. Wash me thoroughly from my iniquity, and cleanse me from my sin. For I acknowledge my iniquity, and my sin is continually before me. Against You only have I sinned and done this evil before You, that You might be justified in Your words, and prevail when You are judged. For behold, I was conceived in iniquities, and in sins did my mother bear me. For behold, You have loved truth; the hidden and secret

ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους, καὶ ἐλέησόν με ὁ Θεός.

things of Your wisdom You have made clear to me. You will sprinkle me with hyssop, and I will be made clean; You will wash me and I will be made whiter than snow. You will make me to hear joy and gladness; the bones that have been humbled will rejoice. Turn Your face away from my sins, and blot out all my iniquities. Create in me a clean heart, O God, and renew a right spirit within me. Cast me not away from Your presence, and take not Your Holy Spirit from me. Restore to me the joy of Your salvation, and with Your governing spirit establish me. I will teach transgressors Your ways and the ungodly will turn back to You. Deliver me from blood-guiltiness, O God, O God of my salvation; my tongue will rejoice in Your righteousness. O Lord, You will open my lips, and my mouth will declare Your praise. For if You had desired sacrifice, I would have given it; with whole burnt offerings You will not be pleased. A sacrifice to God is a broken spirit; a heart that is broken and humbled God will not despise. Do good, O Lord, in Your good pleasure to Zion, and let the walls of Jerusalem be built. Then will You be pleased with a sacrifice of righteousness, with oblation and whole-burnt offerings. Then will they offer bullocks upon Your altar. And have mercy on me, O God.

Καὶ ὁ Ἀρχιερεὺς λέγει μετὰ συντριβῆς καρδίας τὴν εὐχήν·

And the Hierarch says the Prayer from the depths of his heart:

Ὁ Ἀρχιερεύς·

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν ἐξαποστείλας, σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ

Hierarch:

God, our God, who sent forth the heavenly Bread, the food of the whole world, our Lord and God Jesus Christ, as our Savior, and Redeemer and Benefactor, to bless and sanctify us; bless this

ἁγιάζοντα ἡμᾶς· Αὐτὸς εὐλόγησον τὴν Πρόθεσιν ταύτην καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α' Διάκονος· Ἀμήν.

Καὶ προσκυνοῦσιν ἐυλαβῶς ἀμφότεροι ἐκ τρίτου. Ὁ μὲν Ἀρχιερεύς ἀσπάζεται τὰ τίμια Δῶρα ὥς ἐστι κεκαλυμμένα, ἤτοι τὸ ἅγιον Δισκάριον, το ἅγιον Ποτήριον, τὸν ἐπὶ τοῦ Ἀέρος σταυρόν λέγων·

Ἅγιος ὁ Θεός, ὁ Πατὴρ ὁ ἄναρχος· ***(Δισκάριον)***

Ἅγιος ἰσχυρός, ὁ Υἱὸς ὁ συνάναρχος· ***(Ποτήριον)***

Ἅγιος ἀθάνατος, τὸ πανάγιον Πνεῦμα· ***(Αέρ)***

Τριὰς ἁγία δόξα σοι.

Ὁ β' Διάκονος· Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Ὁ α' Διάκονος· Δέσποτα, ἅγιε, εὐλόγησον.

Offering, and receive it on your altar above the heavens. In your goodness and love for mankind be mindful of those who have offered it, and those for whom they have offered it; and as we celebrate your di- vine mysteries keep us without condemnation.

For sanctified and glorified is your all-honored and majestic name, of the Father, the Son and the Holy Spirit, now and for ever, and to the ages of ages.

1st Deacon: Amen.

Then he piously makes three prostrations. The Hierarch venerates the holy Gifts in the same order he covered them, that is first the holy Diskarion, then the holy Chalice, and finally the Cross upon the Aër saying:

Holy God, Father without beginning; ***(Diskarion)***

Holy Mighty, Son, likewise without beginning; ***(Chalice)***

Holy Immortal, the all-holy Spirit. ***(Aër)***

Holy Trinity, glory to You.

2nd Deacon: Glory to the Father, and to the Son, and to the Holy Spirit, both now and for ever, and to the ages of ages. Amen. Lord, have mercy. Lord, have mercy. Lord, have mercy.

1st Deacon: Holy Master, bless.

Ὁ Ἀρχιερεύς·

Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακληθείς, διὰ τὴν ἡμῶν σωτηρίαν, *(καὶ ἀναστὰς ἐκ νεκρῶν)*, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου (Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος τοῦ Μεγάλου), καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Ἀκολούθως οἱ ἱερεῖς καὶ οἱ διάκονοι ἀσπάζονται ἐν τῷ Σάκκῳ πόλου τοῦ ἀρχιερέως.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὁ α' Διάκονος· Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Εἶτα ἡ ἀκολουθία τῆς ἐνδύσεως (κατὰ τὴν τάξιν τῆς Ἱερᾶς Μητροπόλεως Σικάγου) συνεχίζει:

Εἰς τὸν ἱερὸν Ἐπιστήθιον Σταυρόν.

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι.

Hierarch:

May He who was born in a cave and laid in a manger for our salvation, *(and who rose from the dead)* Christ our true God, through the prayers of his most pure Mother, of our Father among the Saints John Chrysostom, Archbishop of Constantinople (Basil the Great, Archbishop of Caesarea in Cappadocia, the heaven revealer), and of all the Saints, have mercy on us and save us, for He is a merciful God Who is good and loves humankind.

Following this the Priests and Deacons venerate the polos (emblem) on the Sakkos of the Hierarch.

Through the prayers of our holy fathers, Lord Jesus Christ, our God, have mercy on us and save us. Amen.

1st Deacon: Through the prayers of our holy Master, Lord Jesus Christ, our God, have mercy on us and save us. Amen.

At this time the service of vesting (according to the practice of the Holy Metropolis of Chicago) continues:

For the sacred Pectoral Cross.

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: Whoever would come after me, let him deny himself, take up his cross and follow me.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τό ἱερὸν Ἐγκόλπιον.

Ὁ β' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α' Διάκονος· Κύριε ἐλέησον.

Ὁ β' Διάκονος· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Ὁ α' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὴν ἱερὰν Μίτραν.

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθων τιμίων· ζωὴν ἠτήσατό σε, καὶ ἔδωκας αὐτῷ, μακρότητα ἡμερῶν.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὴν ἱερὰν Ῥάβδον.

Ὁ β' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α' Διάκονος· Κύριε ἐλέησον.

Ὁ β' Διάκονος· Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the sacred Engolpion.

2nd Deacon: Let us pray to the Lord.

1st Deacon: Lord, have mercy.

2nd Deacon: Create in me a clean heart, O God, and renew a steadfast spirit within me.

1st Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the sacred Mitre.

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: He has placed a crown of precious stones upon his head; he asked of You life, and you gave him length of days.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the sacred Staff.

2nd Deacon: Let us pray to the Lord.

1st Deacon: Lord, have mercy.

2nd Deacon: The Lord shall send out a scepter of power for you out of Zion: rule in the midst of your enemies.

Ὁ α' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὰ ἱερὰ Δικηροτρίκηρα.

Ὁ α' Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ β' Διάκονος· Κύριε ἐλέησον.

Ὁ α' Διάκονος· Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ὁ β' Διάκονος· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀρχομένης δὲ τῆς δοξολογίας, τὸ παραπέτασμα ἀνοίγεται, καὶ ὁ Ἀρχιερεὺς ἐξέρχεται τοῦ Βήματος, προηγουμένων τῶν διακόνων μετὰ Δικηροτρικήρων καὶ τῶν συλλειτουργούντων ἱερέων καὶ ἵσταται ἐπὶ τοῦ ἀρχιερατικοῦ θρόνου. Ὁ πρῶτος τῶν διακόνων λέγει χαμηλοφώνως τὴν ἐκτενῆ·

Ὁ α' Διάκονος (Ἱερεύς)· Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν *N. (καὶ τοῦ Ἐπισκόπου ἡμῶν N.)*

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέ-

1st Deacon: Always, now and forever and to the ages of ages. Amen.

For the sacred Dikirion / Trikirion.

1st Deacon: Let us pray to the Lord.

2nd Deacon: Lord, have mercy.

1st Deacon: Likewise, let your light shine before all, so that they may see your good works and glorify your Father who is in heaven.

2nd Deacon: Always, now and forever and to the ages of ages. Amen.

At the beginning of the doxology, the curtain is opened, and the Hierarch exits from the Sanctuary, preceded by the Deacons with the Dikirion and Trikion and the concelebrating Priests, and stands on the hierarchical throne. The first Deacon says the petitions in a low voice:

1st Deacon (Priest): Have mercy on us, O God, according to your great mercy, we pray you, hear and have mercy.

Again we pray for all pious and Orthodox Christians.

Again we pray for our Archbishop and Father *N. (and our Bishop N.)*

Again we pray for our brothers and sisters, the priests, hieromonks, hierodeacons, all monastics and all of our brotherhood in Christ.

Also we pray for mercy, life, peace, health, salvation, visitation,

ψεως, συγχωρήσεως καὶ ἀφέσεως των ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ πόλει ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἀπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ Ἀρχιερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α' Διάκονος (Ἱερεύς)· Ἀμήν.

Ὁ α' Διάκονος (Ἱερεύς)· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεὸς, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

forgiveness and remission of sins for the servants of God, all pious and Orthodox Christians, those who dwell in or visit this city and parish, the members of this parish, the parish council, those who give help and those who have dedicated gifts in this holy temple.

Also we pray for the blessed and ever-remembered founders of this holy church, and for all our brethren who have gone to their rest before us, and who lie asleep here in the true faith; and for the Orthodox everywhere.

Also we pray for those who strive and bring forth the fruit of good works in this holy and venerable temple, for those who serve, for those who sing, and for the people here present, who await your great and rich mercy.

Hierarch: For you, O God, are merciful, and love mankind, and to you we give glory, to the Father, the Son and the Holy Spirit, now and for ever, and to the ages of ages.

1st Deacon (Priest): Amen.

1st Deacon (Priest): Let us complete our prayer to the Lord.

Take hold of us, save us, have mercy upon us, and protect us, O God, by Your grace.

That the whole day may be perfect, holy, peaceful and sinless, let us ask the Lord.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

An angel of peace, a faithful guide, a guardian of our souls and bodies, let us ask of the Lord.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Pardon and forgiveness of our sins and offenses, let us ask of the Lord.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Those things which are good and profitable for our souls, and peace for the world, let us ask of the Lord.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

That we may live out the rest of our days in peace and repentance, let us ask of the Lord.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

A Christian end to our life, painless, unashamed and peaceful, and a good defence before the fearful judgement seat of Christ, let us ask.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Commemorating our most holy, most pure, most blessed and glorified Lady the Theotokos and ever-virgin Mary, together with all the saints, let us commit ourselves and one another and all our life unto Christ our God.

Ὁ Ἀρχιερεύς· Ὅτι Θεὸς ἐλέους, οἰκτίρμων, καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Hierarch: For you are a God mercy and compassion, and love mankind, and to you we give glory, to the Father, the Son and the Holy Spirit, now and for ever, and to the ages of ages.

Ὁ α' Διάκονος (Ἱερεύς)· Ἀμήν.

1st Deacon (Priest): Amen.

Ὁ Ἀρχιερεύς· Εἰρήνη πᾶσι.

Hierarch: Peace be with all.

Ὁ α' Διάκονος (Ἱερεύς)· Καὶ τῷ πνεύματί σου.

1st Deacon (Priest): And with your spirit.

Ὁ α' Διάκονος (Ἱερεύς)· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Σοί, Κύριε.

Ὁ Ἀρχιερεύς·

Κύριε, Ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, καὶ τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν, σοὶ ἐκλίναμεν τὸν αὐχένα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ δεόμεθά σου, Ἅγιε Ἁγίων· ἔκτεινον τὴν χεῖρά σου τὴν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καὶ εὐλόγησον πάντας ἡμᾶς· καὶ εἴτι ἡμάρτομεν ἑκουσίως ἢ ἀκουσίως, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, δωρούμενος ἡμῖν τὰ ἐγκόσμια καὶ ὑπερκόσμια ἀγαθά σου.

Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ α' Διάκονος (Ἱερεύς)· Ἀμήν. Σοφία! Εὐλόγησον Δέσποτα.

Ὁ Ἀρχιερεύς· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ α' Διάκονος (Ἱερεύς)· Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ Ἀρχιερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

1st Deacon (Priest): Let us bow our heads to the Lord. To You, O Lord.

Hierarch:

Holy Lord, dwelling on high and beholding things below and, with your eye that observes all, keeping watch over the whole creation, to you we have bowed the neck of our soul and body, and we beseech you, O Holy of Holies: Stretch forth your invisible hand from your holy dwelling and bless us all. And, as you are good and love humankind, pardon us if we have sinned in anything, voluntarily or involuntarily, granting us your blessings both of this world and of the world above.

For yours it is to have mercy and to save us, O our God, and to you we give glory, to the Father, the Son and the Holy Spirit, now and for ever, and to the ages of ages.

1st Deacon (Priest): Amen. Wisdom! Bless, Master.

Hierarch: Blessed is He Who Is, Christ our true God, always, now and for ever, and to the ages of ages.

1st Deacon (Priest): Amen. May the Lord God strengthen the holy and pure faith of devout and Orthodox Christians, with his holy Church, unto ages of ages.

Hierarch: Most holy Theotokos, save us.

Ὁ α' Διάκονος (Ἱερεύς)· Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξωτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Ὁ Ἀρχιερεύς· Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

Ὁ α' Διάκονος (Ἱερεύς)· Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἀρχιερεύς·

Ὁ *ἀναστὰς ἐκ νεκρῶν*, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου *(Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος τοῦ Μεγάλου)*,τοῦ ἁγίου *(τοῦ Ναοῦ)*, τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου *(τῆς ἡμέρας)*, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων,

1st Deacon (Priest): Greater in honor than the Cherubim, and beyond compare more glorious than the Seraphim, without corruption you gave birth to God the Word; truly the Mother of God, we magnify you.

Hierarch: Glory to you, Christ God, our hope, glory to you.

1st Deacon (Priest): Glory to the Father, and the Son and the Holy Spirit. Both now and forever, and to the ages of ages. Amen. Lord, have mercy. Lord, have mercy. Lord, have mercy. Holy Master, give the blessing.

Hierarch:

May, *(He who rose from the dead)*, Christ our true God, through the intercessions of His most pure and holy Mother; the power of the precious and life giving Cross; the protection of the honorable, bodiless powers of heaven, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist; the holy, glorious and praiseworthy apostles; the holy, glorious and triumphant martyrs; our holy and God-bearing Fathers, of our Father among the Saints John Chrysostom, Archbishop of Constantinople *(Basil the Great, Archbishop of Caesarea in Cappadocia, the heaven revealer)*, of *(saint of the church)*; the holy and righteous ancestors of God Joachim and Anna; Saint *(of the day)* whose memory we commemorate today, and all the saints, as a good, lov-

ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Through the prayers of our holy Fathers, Lord Jesus Christ, our God, have mercy on us and save us.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ α' Διάκονος (Ἱερεύς)· Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

1st Deacon (Priest): Through the prayers of our holy Master, Lord Jesus Christ, our God, have mercy on us and save us. Amen.

Ψαλλομένου δὲ τοῦ ἀπολυτικίου τοῦ Ὄρθρου τῆς Κυριακῆς (Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν...) ἢ τοῦ ἰδιαιτέρου ἑκάστης ἑορτῆς ἀπολυτικίου, ὁ α' Διάκονος, ἢ ὁ Ἱερεύς με τὴν κεφαλὴν ὑποκλίνας τῷ Ἀρχιερέῳ, λέγει·

When the Apolytikion for Sunday's Orthros is being chanted (Today salvation has come to the world...) or the appropriate festal apolytikion, the 1st Deacon [or Priest], standing in front of the Hierarch with bowed head, says:

Ὁ α' Διάκονος (Ἱερεύς)· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· Δέσποτα ἅγιε, εὐλόγησον.

1st Deacon (Priest): It is time for the Lord to act; Holy Master, give the blessing.

Ὁ Ἀρχιερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Hierarch: Blessed is our God always, now and for ever, and to the ages of ages.

Ὁ α' Διάκονος (Ἱερεύς)· Ἀμήν. Εὔξαι ὑπὲρ ἐμοῦ, Δέσποτα ἅγιε.

1st Deacon (Priest): Amen. Pray for me, holy Master.

Ὁ Ἀρχιερεύς· Κατευθῦναι Κύριος τὰ διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Hierarch: The Lord direct your steps into every good work.

Ὁ α' Διάκονος (Ἱερεύς)· Μνήσθητί μου, Δέσποτα ἅγιε.

1st Deacon (Priest): Remember me, holy Master.

Ὁ Ἀρχιερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Hierarch: May the Lord God remember you in his Kingdom always, now and for ever, and to the ages of ages.

Ὁ α' Διάκονος (Ἱερεύς)· Ἀμήν.

1st Deacon (Priest): Amen.

Ὁ Ἀρχιερεύς· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ***(γ')*** Κύριε τὰ χείλη

Hierarch: Glory to God in the heighest, and on earth peace, good will among all people. ***(x3)*** Lord, you will open my lips, and my

μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. *(β')*

Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν, Θεοτόκε πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

mouth will proclaim your praise. *(x2)*

Standing in the temple of your glory, as if standing in heaven Theotokos, heavenly portal, open to us the gateway to your mercies.

Ἡ τάξις καὶ ἡ σειρὰ τῶν κειμένων τῆς ἐκδόσεως ταύτης ἀκολουθοῦν τὴν σημερινὴ πράξη τῆς Ἱερᾶς Μητροπόλεως Σικάγου, ἐγκρίσει τῶν Ἀρχιερέων Αὐτῆς.

The rubrics and order of the texts in this book reflect the current practice of the Holy Metropolis of Chicago, as established by her Hierarchs.



ΕΥΧΕΣ ΤΩΝ ΑΝΤΙΦΩΝΩΝ ΚΑΙ ΤΗΣ ΕΙΣΟΔΟΥ

Εὐχὴ α' ἀντιφώνου

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος· οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Εὐχὴ β' ἀντιφώνου

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου· Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Εὐχὴ γ' ἀντιφώνου

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισί, συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ πα-

PRAYERS OF THE ANTIPHONS AND ENTRANCE

Prayer of the 1st Antiphon.

Lord, our God, whose might is beyond compare and whose glory is beyond understanding, whose mercy is without measure and whose love for mankind is beyond all telling, look upon us and upon this holy house, Master, according to your loving kindness, and bestow on us and on those who pray with us your acts of rich mercy and compassion.

Prayer of the 2nd Antiphon.

Lord, our God, save your people and bless your inheritance; protect the fullness of your Church, sanctify those who love the beauty of your house, glorify them in return by your divine power, and do not forsake us who hope in you.

Prayer of the 3rd Antiphon.

You have given us grace to make these common and united prayers, and have promised that when two or three agree in your name you will grant their requests; fulfill now the petitions of your servants as is expedient, granting us in this present age the

ρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

knowledge of your truth and in the age to come eternal life.

Εὐχὴ τῆς εἰσόδου

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Prayer of the Entrance.

Master, Lord our God, you have set orders and armies of Angels and Archangels in heaven to minister to your glory; grant that, with our entrance, holy Angels may enter, celebrating with us, and with us glorifying your goodness. For to You belong all glory, honor, and worship to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages. Amen.

ΑΠΟΛΥΤΙΚΙΑ

ΤΩΝ ΚΟΙΝΩΤΗΤΩΝ

ΣΕΠΤΕΜΒΡΙΟΣ

8

Γενέθλιον τῆς Θεοτόκου.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

14

Ὕψωσις τοῦ τιμίου Σταυροῦ.

Ἀπολυτίκιον. Ἦχος α'.

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

ΟΚΤΩΒΡΙΟΣ

18

Ἁγίου Εὐαγγελιστοῦ Λουκᾶ.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολε Ἅγιε καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

APOLYTIKIA

OF THE PARISHES

SEPTEMBER

8

Nativity of the Theotokos

Apolytikion. Mode 4.

Your Nativity, O Theotokos, imparted joy to the entire earth, for out of you has risen the Sun of Righteousness, Christ our God. He nullified the curse and instead gave His blessing; and causing death to be neutralized, He granted us eternal life.

14

Exaltation of the precious Cross

Apolytikion. Mode 1.

Save, O Lord, Your people and bless Your inheritance, granting victory to the rules over the enemy, and by Your Cross protecting Your commonwealth.

OCTOBER

18

St. Luke the Evangelist.

Apolytikion. Mode 3.

O holy Apostle and Evangelist Luke, make intercession to our merciful God, that He grant our souls forgiveness of offenses.

23

Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὡς τοῦ Κυρίου μαθητής, ἀνεδέξω Δίκαιε τὸ Εὐαγγέλιον· ὡς Μάρτυς ἔχεις τὸ ἀπαράτρεπτον· τὴν παρρησίαν ὡς Ἀδελφόθεος, τὸ πρεσβεύειν ὡς Ἱεράρχης. Ἱκέτευε Χριστὸν τὸν θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

26

Ἁγίου Μεγαλομάρτυρος Δημητρίου.

Ἀπολυτίκιον. Ἦχος γ'. *Θείας πίστεως.*

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ΝΟΕΜΒΡΙΟΣ

1

Ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Ἅγιοι Ἀνάργυροι καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν, δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

23

St. Iakovos the Brother of God.

Apolytikion. Mode 4.

As a disciple of the Lord, you accepted the Gospel, O James the Just. As a Martyr you have unchangeability; as the Brother of God you have confidence; and you can intercede as a hierarch. Intercede with Christ our God, entreating Him to save our souls.

26

St. Demetrios the Great Martyr.

Apolytikion. Mode 3. *Your confession.*

All the world has you, its mighty champion, * fortifying us in times of danger, * and defeating our foes, O Victorious One. * So, as you humbled Lyaios's arrogance * by giving courage to Nestor in the stadium, * thus, O holy Great Martyr Demetrios, * to Christ our God pray fervently, * beseeching Him to grant us His great mercy.

NOVEMBER

1

Sts. Kosmas and Damianos the Unmercenarios.

Apolytikion. Mode pl. 4.

Holy Unmercenaries and Wonder-workers, visit our infirmities. Freely you received; freely give to us.

8

Ἡ σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριήλ.

Ἀπολυτίκιον. Ἦχος δ'.
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

8

The Synaxis of the Chief Commanders Michael and Gabriel.

Apolytikion. Mode 4.
You who were lifted.

O Chief Commanders of the heavenly armies, * we the unworthy ones entreat you in earnest, * that you might with your supplications fortify us, * guarding us who run to you and beneath the protection * of the pinions of your immaterial glory, * and who with fervor shout: Deliver us, * from every danger, as Captains of the hosts on high.

9

Ἁγίου Νεκταρίου θαυματουργοῦ.

Ἀπολυτίκιον. Ἦχος α'.
Τῆς ἐρήμου πολίτης.

Σηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ· ἀναβλύζει γὰρ ἰάσεις παντοδαπὰς, τοῖς εὐλαβῶς κραυγάζουσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· Δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

9

St. Nektarios the Wonderworker.

Apolytikion. Mode 1.
As a citizen of the desert.

The son of Silyvria, the guardian of Aegina, * and the ardent lover of virtue * who in recent years has appeared, * the God-inspired servant of Christ * Nektarios, O faithful, let us praise. * For he gushes forth healings of every kind * to those who cry out reverently: * Glory to Christ who glorified you; * glory to Him for your miracles; * glory to Him who through you effects cures for all.

21

Εἴσοδος τῆς Ὑπεραγίας Θεοτόκου.

Ἀπολυτίκιον. Ἦχος δ'.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις. Ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. Αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· Χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις.

21

Entrance of the Theotokos.

Apolytikion. Mode 4.

Today is the prelude of God's good pleasure, and the proclamation of humanity's salvation. In the temple of God, the Virgin is presented openly, and in herself she announces Christ to all. Let us, then, with a great voice cry aloud to her: "Rejoice, you are the fulfillment of the Creator's dispensation."

30

Ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὡς τῶν Ἀποστόλων Πρωτόκλητος, καὶ τοῦ Κορυφαίου αὐτάδελφος, τὸν Δεσπότην τῶν ὅλων Ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

30

St. Andrew the First-called Apostle.

Apolytikion. Mode 4.

As first called of the Apostles and brother of Peter the Preeminent, O Andrew, intercede with the Master of all to grant peace to the whole world, and great mercy to our souls.

ΔΕΚΕΜΒΡΙΟΣ

DECEMBER

6

Ἁγίου Νικολάου τοῦ θαυματουργοῦ.

Ἀπολυτίκιον. Ἦχος δ'.

Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ ἱεράρχα Νικόλαε· πρέσβευε

6

St. Nicholas the Wonderworker.

Apolytikion. Mode 4.

The actual facts of your life manifested you to your flock as a rule of faith and an icon of gentleness and a teacher of self-control. By humility, therefore, you acquired the things on high, and riches through poverty, father holy

Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

hierarch Nicholas, intercede with Christ our God, entreating Him to save our souls.

12

Ἁγίου Σπυρίδωνος τοῦ θαυματουργοῦ.

Ἀπολυτίκιον. Ἦχος α'.
Τοῦ λίθου σφραγισθέντος.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος, καὶ θαυματουργὸς θεοφόρε, Σπυρίδων πατὴρ ἡμῶν· διὸ νεκρᾷ σὺ ἐν τάφῳ προσφωνεῖς, καὶ ὄφιν εἰς χρυσοῦν μετέβαλες· καὶ ἐν τῷ μέλπειν τὰς ἁγίας σου εὐχάς, Ἀγγέλους ἔσχες συλλειτουργοῦντάς σοι Ἱερώτατε· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

12

St. Spyridon the Wonderworker.

Apolytikion. Mode 1.
The stone had been secured.

At the first of the Synods, you emerged as the champion, * and wonder-worker, our God-bearing father Spyridon. * Therefore, you addressed the dead one in the grave, * and a serpent you changed to gold. * And while chanting in service your sacred prayers, * you had angels concelebrating, O most Holy One. * Glory to Christ who glorified you, * glory to Him who crowned you, * glory to the One who works through you, healings for everyone.

25

Ἡ κατὰ Σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο· σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν, Κύριε δόξα σοι.

25

The Incarnation in the flesh of our Lord, God and Savior Jesus Christ.

Apolytikion. Mode 4.

Your nativity, O Christ our God, has caused the light of knowledge to rise upon the world. For therein the worshippers of the stars were by a star instructed to worship You, the Sun of Righteousness, and to know You as Orient from on high. Glory to You, O Lord.

ΙΑΝΟΥΑΡΙΟΣ

1

Ἁγίου Βασιλείου τοῦ Μεγάλου.

Ἀπολυτίκιον. Ἦχος α'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου, δι' οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας, Βασίλειον Ἱεράτευμα, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

6

Τὰ Ἅγια Θεοφάνεια.

Ἀπολυτίκιον. Ἦχος α'.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν κόσμον φωτίσας δόξα σοι.

7

Ἡ Σύναξις τοῦ τιμίου ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Ἀπολυτίκιον. Ἦχος β'.

Μνήμη Δικαίου μέτ' ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ Προφητῶν σεβασμι-

JANUARY

1

St. Basil the Great.

Apolytikion. Mode 1.

The actual facts of your life manifested you to your flock as a rule of faith and an icon of gentleness and a teacher of self-control. By humility, therefore, you acquired the things on high, and riches through poverty. Father holy hierarch Nicholas, intercede with Christ our God, entreating Him to save our souls.

6

Holy Theophany.

Apolytikion. Mode 1.

As You were baptized in the Jordan, O Lord, then the worship of the Trinity became manifest, for the voice of the Father bore witness to You, naming You the Beloved Son; and the Spirit, in the form of a dove, confirmed the certainty of the word. O Christ God, who appeared and illumined the world, glory to You.

7

The Synaxis of the honorable and all-grloious Prophet, Forerunner and Baptist John

Apolytikion. Mode 2.

The memory of the just is observed with hymns of praise; for you suffices the testimony of the Lord, O Forerunner. You have

ώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

proved to be truly more ven'rable than the Prophets, since you were granted to baptize in the river the One whom they proclaimed. Therefore, when for the truth you had contested, rejoicing, to those in Hades you preached the Gospel, that God was manifested in the flesh, and takes away the sin of the world, and grants to us the great mercy.

17

Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου

Ἀπολυτίκιον. Ἦχος δ'.

Τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος, τῷ Βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος, πάτερ Ἀντώνιε, τῆς ἐρήμου γέγονας οἰκιστής, καὶ τὴν οἰκουμένην ἐστήριξας εὐχαῖς σου· διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

17

Our Venerable and God-bearing Father, Anthony the Great

Apolytikion. Mode 4.

Imitating the manners of Elijah the Zealot, and following the straight paths of John the Baptist, O father Anthony, you colonized the desert, and you supported the Empire by your prayers. Therefore intercede with Christ our God to save our souls.

18

Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, Ἀθανασίου καὶ Κυρίλλου

Ἀπολυτίκιον. Ἦχος γ'. *Θείας πίστεως.*

Ἔργοις λάμψαντες Ὀρθοδοξίας, πᾶσαν σβέσαντες κακοδοξίαν, νικηταὶ τροπαιοφόροι γεγόνατε· τῇ εὐσεβείᾳ τὰ πάντα πλουτίσαντες, τὴν Ἐκκλησίαν μεγάλως κοσμήσαντες, ἀξίως εὕρατε Χριστὸν τὸν Θεὸν εὐχαῖς ὑμῶν, δωρούμενον πᾶσι τὸ μέγα ἔλεος.

18

Our Fathers among the saints, Athanasios and Cyril

Apolytikion. Mode 3. *Your confession.*

Having shone with deeds of Orthodoxy * and extinguished all impious doctrines, * you have rightly won the trophies and victory. * Since you enriched all the world with correct belief, * greatly adorning the Church with your words and deeds, * you therefore have worthily found Christ God, * who by your prayers grants to all the great mercy.

30

Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καί Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου

Ἀπολυτίκιον. Ἦχος α'.

Τοὺς τρεῖς μεγίστους φωστῆρας τῆς τρισηλίου Θεότητος, τοὺς τὴν οἰκουμένην ἀκτῖσι δογμάτων θείων πυρσεύσαντας· τοὺς μελιῤῥύτους ποταμοὺς τῆς σοφίας, τούς τὴν κτίσιν πᾶσαν θεογνωσίας νάμασι καταρδεύσαντας· Βασίλειον τὸν μέγαν, καὶ τὸν Θεολόγον Γρηγόριον, σὺν τῷ κλεινῷ Ἰωάννῃ, τῷ τὴν γλώτταν χρυσορῥήμονι· πάντες οἱ τῶν λόγων αὐτῶν ἐρασταί, συνελθόντες ὕμνοις τιμήσωμεν· αὐτοὶ γὰρ τῇ Τριάδι, ὑπὲρ ὑμῶν ἀεὶ πρεσβεύουσιν.

30

Our Fathers among the saints, great Hierarchs and Ecumenical Teachers, Basil the Great, Gregory the Theologian and John Chrysostom

Apolytikion. Mode 1.

Those three magnificent luminaries of the tri-solar Godhead, who lit up the whole world with rays of divine doctrines; those mellifluent rivers of wisdom, who irrigated all creation with the waters of the knowledge of God; Basil the Great, and Gregory the Theologian, and the illustrious John, whose tongue produced golden words! Let all of us who are enamored of their words come together and sing hymns to honor them. For they are ever interceding with the Trinity on our behalf.

ΦΕΒΡΟΥΑΡΙΟΣ

2

Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου, καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀπολυτίκιον. Ἦχος α'.

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. Εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν.

FEBRUARY

2

The Presentation of our Lord, God and Savior Jesus Christ

Apolytikion. Mode 1.

Lady full of grace, rejoice, O Virgin Theotokos, for Christ our God, the Sun of righteousness has risen from you and He illumined those in darkness. And you, righteous Elder, be glad in heart, receiving in your embraces the One who liberates our souls and bestows on us the Resurrection.

10

Τοῦ Ἁγίου Ἱερομάρτυρος Χαραλάμπους τοῦ Θαυματουργοῦ

Ἀπολυτίκιον. Ἦχος δ'.
Ταχὺ προκατάλαβε.

Ὡς στῦλος ἀκλόνητος, τῆς Ἐκκλησίας Χριστοῦ, καὶ λύχνος ἀείφωτος τῆς οἰκουμένης σοφέ, ἐδείχθης Χαράλαμπες, ἔλαμψας ἐν τῷ κόσμῳ, διὰ τοῦ μαρτυρίου, ἔλυσας τῶν εἰδώλων, τὴν σκοτόμαιναν μάκαρ· διὸ ἐν παῤῥησίᾳ Χριστῷ, πρέσβευε σωθῆναι ἡμας.

10

St. Haralambos the Hieromartyr and Wonderworker

Apolytikion. Mode 4.
Come quickly.

A pillar unshakable are you in Christ's holy Church, * and, as your own name denotes, an ever radiant lamp, * all-blessed Haralambos, * shining throughout the whole world * by your feats as a martyr, * driving away the darkness of the worship of idols. * With confidence, therefore, pray to Christ, * entreating Him to save our souls.

ΜΑΡΤΙΟΣ

25

Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

Ἀπολυτίκιον. Ἦχος δ'.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ καὶ ἡμεῖς σὺν αὐτῷ, τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

MARCH

25

The Annunciation of the All-holy Theotokos and Ever-virgin Mary

Apolytikion. Mode 4.

Today is the summary of our salvation, and the revelation of the age-old mystery. For the Son of God becomes the Son of the Virgin, and Gabriel announces the good news of grace. Therefore, let us join him, and cry aloud to the Theotokos: "Rejoice, Maiden full of grace! The Lord is with you."

ΑΠΡΙΛΙΟΣ

23

Τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

APRIL

23

St. George the all-glorious Great Martyr

Apolytikion. Mode 4.

As the one renowned for setting captives free and for defending those in poverty, the physician of the sick and the champion of emperors, great and victorious Martyr George, intercede with Christ our God, beseeching Him to save our souls.

ΜΑΪΟΣ

21

Τῶν ἁγίων ἐνδόξων, μεγάλων, θεοστέπτων καὶ Ἰσαποστόλων Βασιλέων, Κωνσταντίνου καὶ Ἑλένης.

Ἀπολυτίκιον. Ἦχος Πλ. δ'.

Τοῦ Σταυροῦ σου τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν βασιλεῦσιν, ἀπόστολός σου Κύριε, Βασιλεύουσαν πόλιν τῇ χειρί σου παρέθετο ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

MAY

21

The All-glorious, great, God-crowned and Equal-to-the-Apostles, Sts. Constantine and Helen

Apolytikion. Mode Pl. 4.

Your Apostle among the Rulers, (St. Constantine), who once beheld in the sky the image of Your Cross, and who like Paul received his calling not from man, once entrusted the Queen City into Your hand. We entreat You to restore it in peace forever, at the intercession of the Theotokos, O Lord who loves humanity.

ΙΟΥΝΙΟΣ

29

Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων καὶ Πρωτοκορυφαίων, Πέτρου καὶ Παύλου.

Ἀπολυτίκιον. Ἦχος δ'.

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

30

Ἡ Σύναξις τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων τῶν ΙΒ'.

Ἀπολυτίκιον. Ἦχος γ'.

Ἀπόστολοι Ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

ΙΟΥΛΙΟΣ

20

Τοῦ ἁγίου ἐνδόξου Προφήτου Ἠλιοὺ τοῦ Θεσβίτου.

Ἀπολυτίκιον. Ἦχος δ'.
Ταχὺ προκατάλαβε.

Ὁ ἔνσαρκος ἄγγελος, τῶν Προφητῶν ἡ κρηπίς, ὁ δεύτερος Πρόδρομος τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς κα-

JUNE

29

The holy, all-glorious and all-famed Paramounts of the Apostles, Peter and Paul.

Apolytikion. Mode 4.

Preeminent Apostles and teachers of the universe, intercede with the Master of all, to grant peace to the whole world, and great mercy to our souls.

30

The Synaxis of the holy all-glorious and all-famed Twelve Apostles.

Apolytikion. Mode 3.

O holy Apostles, make intercession to our merciful God, that He grant our souls forgiveness of offenses.

JULY

20

The holy all-glorious Prophet, Elias the Thesbite.

Apolytikion. Mode 4.
Come quickly.

The angel incarnate and the Prophets' pedestal, ⋆ the second Forerunner of the coming of Christ, Elias the glorious, ⋆ sent down to Elisha the divine grace from heaven. ⋆ He drives away diseases and he cleanses lepers. ⋆

θαρίζει· διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν, βρύει ἰάματα.

Therefore he pours out healings to those who honor him.

ΑΥΓΟΥΣΤΟΣ

AUGUST

6

Τῆς ἁγίας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀπολυτίκιον. Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου, φωτοδότα δόξα σοι.

6

The holy Transfiguration of our Lord, God and Savior Jesus Christ.

Apolytikion. Mode Grave.

You were transfigured upon the mountain, O Christ our God, showing to Your disciples Your glory as much as they could bear. Do also in us, sinners though we may be, shine Your everlasting light, by the intercessions of the Theotokos, O Giver of light. Glory to You.

15

Τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ἀπολυτίκιον. Ἦχος α'.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

15

The Falling-asleep of our all-holy Lady, the Theotokos and Ever-virgin Mary.

Apolytikion. Mode 1.

In giving birth you retained your virginity, and in dormition you did not forsake the world, O Theotokos. You were translated unto life, being the Mother of Life. And thus by virtue of your intercessions you deliver our souls from death.

ΤΡΙΩΔΙΟΝ

ΣΑΒΒΑΤΩ ΠΡΟ ΤΩΝ ΒΑΪΩΝ

Τοῦ ἁγίου καὶ δικαίου, φίλου τοῦ Χριστοῦ, Λαζάρου τοῦ τετραημέρου.

Ἀπολυτίκιον. Ἦχος α'.

Τὴν κοινὴν Ἀνάστασιν πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς ὡς οἱ παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ Νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

TRIODION

THE SATURDAY BEFORE THE PALMS

Lazaros, the holy and just friend of Christ, who lay four days dead in the tomb.

Apolytikion. Mode 1.

To confirm the general resurrection before Your Passion, You resurrected Lazarus from the dead, O Christ our God. Therefore imitating the children, carrying the symbols of victory, we cry out to You the Victor over death: "Hosanna in the highest! Blessed are You, the One, who comes in the name of the Lord."

ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν καὶ θεομήτορος, τῆς Ζωηφόρου Πηγῆς.

Ἀπολυτίκιον. Ἦχος α'.

Ὁ ναός σου, Θεοτόκε, ἀνεδείχθη παράδεισος, ὡς ποταμοὺς ἀειζώους, ἀναβλύζων ἰάματα· ᾧ προσερχόμενοι πιστῶς, ὡς ζωοδόχου ἐκ πηγῆς, ῥῶσιν ἀντλοῦμεν, καὶ ζωὴν τὴν αἰώνιον· πρεσβεύεις γὰρ σύ, τῷ ἐκ σοῦ τεχθέντι Σωτῆρι Χριστῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

PENTECOSTARION

FRIDAY OF RENEWAL WEEK

The dedication of the Church of the Life-giving Spring to our Most-holy Lady, the Mother of God.

Apolytikion. Mode 1.

O Theotokos, your church is like the Garden of Paradise, since it pours out healings and cures like ever-living rivers. We come to it with faith, and we draw strength and eternal life from its water, through you who are the Spring that received Life himself. For you intercede with Christ our Savior, who was born from you, and you entreat Him to save our souls.

Ἀνάληψις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος· βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

The Ascension of our Lord, God and Savior Jesus Christ.

Apolytikion. Mode 4.

You ascended in glory, O Christ our God, after You filled the Disciples with joy, by promising to send them the Holy Spirit, and You blessed them and established their faith, that You are the Son of God, the Redeemer of the world.

Κυριακὴ τῆς ἁγίας Πεντηκοστῆς.

Ἀπολυτίκιον. Ἦχος πλ. δ'.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

The Sunday of Holy Pentecost.

Apolytikion. Mode Pl. 4.

Blessed are You, O Christ our God. You made the fishermen all-wise, by sending down upon them the Holy Spirit, and through them You drew the world into Your net. O Lover of mankind, glory to You.

Κυριακὴ τῶν ἁγίων Πάντων.

Ἀπολυτίκιον. Ἦχος δ'.

Τῶν ἐν ὅλῳ τῷ κόσμῳ Μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον τὰ αἵματα, ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι· Χριστὲ ὁ Θεός· Τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

The Sunday of all Saints.

Apolytikion. Mode 4.

Your Church is arrayed in the holy blood of Your Martyrs who witnessed throughout the world, as though in purple and fine linen. Through them she cries to You, Christ our God, "Send down to Your people Your tender love, grant peace from above to Your commonwealth, and to our souls Your great mercy."

LET NOTHING

exist among you which may
divide you; but be united with
your bishop, being through him
subject to God in Christ.

St. IGNATIOS *of* Antioch